eul_wid: tro-ab

*Αἰσχύλου Σχόλια* · Aeschylus Scholia

# Prototriclinian Scholia-Aeschylus

*Πρωτοτρικλίνια Σχόλια εἰς Αἰσχύλον*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Βυζαντινὴ Ἑλληνική* Byzantine Greek
**Domain:** *Γραμματική* Grammar
**Format:** *Ἔμμετρος* Verse

book 1 + ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λη′ ὧν τελευταῖος· μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι. μετὰ δὲ τὸν κδ′ κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

book 39 στίχοι λη′.

book 40 + δέκατον μὲν ἔτος· ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων σλβ′ ὧν τὰ μὲν ξδ′ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα. ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν. καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ πενθημιμερῆ καὶ ἑφθημιμερῆ καὶ δίμετρα ἀκατάληκτά τινα καὶ μονόμετρα ξδ′. ἑξῆς δὲ εἰς ἑτέραν ὑπόθεσιν μεταβὰς καὶ ἑτέρωι μέτρωι ἐχρήσατο. καί εἰσι τὰ ἑξῆς κῶλα χοριαμβικὰ δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ ἀκατάληκτα καὶ ἡμιόλια καὶ πενθημιμερῆ καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ ρδ′ ὧν τελευταῖον· γαίας μονόφρουρον ἕρκος.

book 41 μονόμετρον.

book 46 μονόμετρον.

book 51 μονόμετρον.

book 53 μονόμετρον.

book 120 ἰαμβικὸν δίμετρον.

book 138 δίμετρον ἰαμβικόν.

book 258 + εἴσθεσις διπλῆς ἀμοιβαίας συνεχοῦς καὶ μονοστροφικῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ϙζ′, ὧν τελευταῖος· χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.

book 315 τοιοῦτον] κοινή.

book 355 + ὦ Ζεῦ βασιλεῦ· ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ρλς′, ὧν τὰ πρῶτα ιβ′ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα. τὰ δὲ ἑξῆς ρκα′ χοριαμβικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά, ὧν τελευταῖον· γυναικογήρυτον ὄλλυται κλέος.

book 375 πνεόντων] συνίζησις.

book 376 φλεόντων] συνίζησις.

book 489 + εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρϙβʹ, ὧν τελευταῖος· τοσαῦτ᾽ ἀκούσας ἴσθι τἀληθῆ κλύειν.

book 593 τοιοῦτος] κοινή.

book 681 + ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ρκζʹ, ὧν τὰ μὲν ρʹ εἰσὶ χοριαμβικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ 〈καὶ〉 πενθημιμερῆ καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά. ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξε. καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα κζʹ, ὧν τελευταῖον· πόλιν οἰκουροῦντα πολιτῶν.

book 781 κῶλα ρʹ.

book 782 + ἀναπαιστικὰ κῶλα κζʹ.

book 810 + εἴσθεσις διπλῆς μονοστροφικῆς τε καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρξεʹ, ὧν τελευταῖος· μέλοι δέ σοι τοι τῶνπερ ἂν μέλλῃς τελεῖν.

book 975 + ὁ παρὼν χορὸς συνίσταται ἐκ κώλων χοριαμβικῶν ξʹ, ὧν τὰ μέν ἐστι δίμετρα ἀκατάληκτα, τὰ δὲ καταληκτικά, ἤτοι ἑφθημιμερῆ, τὰ δὲ πενθημιμερῆ καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα, ὧν τελευταῖον· ζωπυρουμένας φρενός.

book 1035 + εἴσθεσις διπλῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λζʹ, ὧν τελευταῖος· ἑκοῦς᾽ ἀνάγκῃ τῇδε καίνισον ζυγόν.

book 1071 στίχοι λζʹ.

book 1072 + ὀτοτοτοῖ· εἴσθεσις διπλῆς ἀμοιβαίας τὰς περιόδους 〈μονοστροφικὰσ〉 καὶ συνεχεῖς ἔχουσα. εἰσὶ δὲ οἱ μὲν τοῦ χοροῦ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, τὰ δὲ τοῦ ἑτέρου προσώπου κῶλα ἀντισπαστικά. ἔοικε δὲ ταῦτα στροφῇ καὶ ἀντιστροφῇ, καί εἰσι τῆς μὲν στροφῆς κῶλα βʹ, ὧν τὸ αʹ ἡμιόλιον, τὸ δὲ βʹ πενθημιμερές. ὁμοίως καὶ τῆς ἀντιστροφῆς· τὰ αὐτὰ γάρ εἰσι κῶλα. ἔχουσι δὲ καὶ τοὺς πόδας πεντασυλλάβους.

book 1074-1075 ἴαμβοι βʹ.

book 1075 τοιοῦτος] κοινή.

book 1078-1079 ἴαμβοι βʹ.

book 1080 + ἑτέρα στροφὴ ἔχουσα κῶλα γʹ, ὧν τὸ αʹ πενθημιμερές, τὸ βʹ δίμετρον ἀκατάληκτον, τὸ δὲ γʹ ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος.

book 1083-1084 ἴαμβοι βʹ.

book 1085 + ἀντιστροφὴ ἔχουσα κῶλα γʹ ὅμοια τοῖς τῆς στροφῆς.

book 1088-1089 ἴαμβοι βʹ.

book 1090 + ἑτέρα στροφὴ ἔχουσα κῶλα γʹ, ὧν τὸ αʹ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, τὸ βʹ δίμετρον ἀκατάληκτον· ἔχουσι δὲ πεντασυλλάβους πόδας. τὸ δὲ γʹ ἰαμβικὸς τρίμετρος ἀκατάληκτος.

book 1093-1094 ἴαμβοι βʹ.

book 1095 + ἀντιστροφὴ ἑτέρα ἔχουσα κῶλα γʹ ὅμοια τοῖς τῆς στροφῆς.

book 1098-1099 ἴαμβοι βʹ.

book 1100 + ἑτέρα στροφὴ ἔχουσα κῶλα εʹ, ὧν τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τὸ βʹ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, τὸ γʹ ἰαμβικὸς τρίμετρος ἀκατάληκτος, τὸ δʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, τὸ δὲ εʹ πενθημιμερές. ἔχουσι δὲ τοὺς πόδας πεντασυλλάβους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1105-1106 ἴαμβοι β′.

book 1107 + ἑτέρα ἀντιστροφὴ ἔχουσα κῶλα ε′ ὅμοια τοῖς τῆς στροφῆς.

book 1112-1113 ἴαμβοι β′.

book 1114 + ἐντεῦθεν ἑτέρως ἐσχημάτισε τὸ μέτρον καὶ προέθηκε τῆς στροφῆς κῶλόν τι τὸ ἒ ἕ. τὰ δὲ ἑξῆς κῶλά εἰσι ε′, ὧν τὸ α′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τὸ β′ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, τὸ γ′ ἰαμβικὸν τρίμετρον, τὸ δ′ ὅμοιον τῶι α′, τὸ δὲ ε′ τρίμετρον καταληκτικὸν ἀντισπαστικὸν καὶ αὐτό. ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας.

book 1119 + ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ς′, ὧν οἱ πρῶτοι β′ ἰαμβικοὶ τρίμετροι, τὸ γ′ καὶ δ′ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, τὸ ε′ δίμετρον ὑπερκατάληκτον, τὸ δὲ ς′ ἑφθημιμερές. ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας.

book 1125 + ἀντιστροφή ἐστιν αὕτη τῆς ῥηθείσης στροφῆς καὶ ἔχει κῶλα ἰσόμετρα ἐκείνηι ε′.

book 1130 + τῆς τοῦ χοροῦ στροφῆς αὕτη ἐστὶν ἀντιστροφὴ ἔχουσα κῶλα ὅμοια ς′.

book 1136 + στροφὴ ἑτέρα κώλων ε′, ὧν τὸ α′ μονόμετρον, τὸ β′ δίμετρον ὑπερκατάληκτον ἀντισπαστικόν, τὸ γ′ τρίμετρον καταληκτικὸν ὅμοιον, τὸ δ′ ἰαμβικὸν τρίμετρον, τὸ ε′ ὅμοιον τῶι γ′.

book 1140 + ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ς′ ἀντισπαστικῶν, ὧν τὸ α′ τρίμετρον βραχυκατάληκτον, τὸ β′ πενθημιμερές, τὸ γ′ δίμετρον ἀκατάληκτον, τὸ δ′ τρίμετρον καταληκτικόν, τὸ ε′ ὅμοιον τῶι α′, τὸ ς′ ὅμοιον τῶι β′.

book 1146 + ἀντιστροφὴ τῆς ἄνω στροφῆς κώλων ὁμοίων ε′.

book 1150 + ἀντιστροφὴ ἑτέρα τῆς τοῦ χοροῦ στροφῆς κώλων ὁμοίων ς′.

book 1156 + ἑτέρα στροφὴ κώλων ς′ ἀντισπαστικῶν, ὧν τὸ α′ καὶ β′ τρίμετρον ἀκατάληκτον, τὸ γ′ τρίμετρον βραχυκατάληκτον, τὸ δ′ πενθημιμερές, τὸ ε′ καὶ ς′ ὅμοια τῶι α′.

book 1162 + ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ε′ ἀντισπαστικῶν, ὧν τὸ α′ δίμετρον ὑπερκατάληκτον, τὸ β′ ἑφθημιμερές, τὸ γ′ τρίμετρον καταληκτικόν, τὸ δ′ ὅμοιον, τὸ ε′ πενθημιμερές.

book 1165 θρεομένας] συνίζησις.

book 1167 + ἀντιστροφὴ τῆς ἄνω στροφῆς κώλων ὁμοίων ς′.

book 1173 + ἀντιστροφὴ τοῦ χοροῦ κώλων ὁμοίων ε′.

book 1178 + εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμθ′, ὧν τελευταῖος· καὶ ταῦτ’ ἐκείνων μᾶλλον οἰκτείρω πολύ. μετὰ δὲ τὸν λς′ κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον, μετὰ δὲ τὸν ρκζ′ κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον, μετὰ δὲ τὸν ρλδ′ κῶλον ὅμοιον μονόμετρον ἀκατάληκτον.

book 1256 οἷον] κοινή.

book 1330 στίχοι ρμθ′.

book 1331 + εἴσθεσις χοροῦ ἐπωιδικὴ διὰ τὸ μετὰ τὴν διπλῆν κεῖσθαι. τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ ιβ′ ὧν τὸ ς′ μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ.

book 1342 κῶλα ιβ′.

book 1343 + εἴσθεσις διπλῆς ἀμοιβαίας καὶ μονοστροφικῆς. οἱ δὲ στίχοι εἰσὶν ξδ′, ὧν ὁ β′ καὶ δ′ καὶ ε′ τροχαϊκοὶ τετράμετροι καταληκτικοί. οἱ δὲ λοιποὶ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ὧν τελευταῖος· ἔργον δικαίας τέκτονος τάδ’ ὧδ’ ἔχει.

book 1352 τοιούτου] κοινή.

book 1360 τοιοῦτος] κοινή.

book 1406 στίχοι ξδ′.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1407 + στροφὴ χοροῦ ἐκ κώλων ἀντισπαστικῶν ε′, ὧν τὸ α′ δίμετρον ὑπερκατάληκτον, τὸ β′ τρίμετρον βραχυκατάληκτον, τὸ γ′ τρίμετρον καταληκτικόν, τὸ δ′ ὅμοιον, τὸ ε′ ὅμοιον.

book 1412 + ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιδ′.

book 1425 στίχοι ιδ′.

book 1426 + ἀντιστροφὴ ἔχουσα κῶλα ε′ ὅμοια τοῖς τῆς στροφῆς ἀντισπαστικοῖς.

book 1431 + ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιζ′.

book 1447 στίχοι ιζ′.

book 1448 + εἴσθεσις διπλῆς μονοστρόφους ἔχουσα τὰς περιόδους· οὐ γὰρ ἔχει ἀντιστροφάς. καί εἰσι τοῦ μὲν χοροῦ τὰ κῶλα χοριαμβικά, τοῦ δὲ ἑτέρου προσώπου ἀναπαιστικά. εἰσὶ δὲ τῆς παρούσης στροφῆς κῶλα χοριαμβικὰ ιδ′ δίμετρα καὶ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα. μετὰ δὲ τὸ ζ′ κῶλον κώλου τμῆμα τὸ ἰώ.

book 1461 κῶλα ιδ′.

book 1462 + ἀναπαιστικὰ κῶλα ϛ′, ὧν τὸ β′ μὲν μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ϛ′ ἑφθημιμερές.

book 1463 μονόμετρον.

book 1468 + στροφὴ ἑτέρα κώλων χοριαμβικῶν δ′. εἰσὶ δὲ τὰ μὲν δίμετρα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα.

book 1475 + ἀναπαιστικὰ ὅμοια τοῖς προρρηθεῖσιν ἕξ.

book 1481 + ἑτέρα στροφὴ κώλων χοριαμβικῶν ιε′. εἰσὶ δὲ τὰ μὲν δίμετρα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα, τὰ δὲ ἡμιόλια. μετὰ δὲ τὸ η′ καὶ τὸ ιβ′ κώλων τμήματα.

book 1497 + ἀναπαιστικὰ κῶλα η′ ὧν τὸ β′ καὶ τὸ ζ′ μονόμετρα, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ η′ ἑφθημιμερές.

book 1505 + στροφὴ ἑτέρα κώλων ὁμοίων τοῖς ῥηθεῖσιν χοριαμβικῶν η′.

book 1513 + ἀναπαιστικὰ κῶλα ζ′, ὧν τὸ β′ μὲν καὶ τὸ ζ′ ἑφθημιμερῆ, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, ὧν προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον.

book 1521 + ἀναπαιστικὰ κῶλα θ′, ὧν τὸ β′ μὲν μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ θ′ ἑφθημιμερές.

book 1530 + στροφὴ ἑτέρα κώλων ὁμοίων τοῖς ῥηθεῖσι χοριαμβικῶν ζ′.

book 1538 + ἀναπαιστικὰ κῶλα ι′, ὧν τὸ α′, τὸ γ′, τὸ ϛ′ καὶ τὸ θ′ μονόμετρα, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι′ ἑφθημιμερές.

book 1547 + χοριαμβικὰ κῶλα ὅμοια τοῖς ῥηθεῖσι δ′.

book 1551 + ἀναπαιστικὰ κῶλα θ′, ὧν τὸ γ′, τὸ ϛ′ καὶ τὸ η′ μονόμετρα, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ θ′ ἑφθημιμερές.

book 1560 + ἑτέρα στροφὴ κώλων ὁμοίων τοῖς ῥηθεῖσι ζ′. ἔοικε δὲ ἀντιστροφὴ εἶναι τῆς στροφῆς ἧς ἡ ἀρχὴ ἀμηχανῶ· ὅμοια γὰρ ἔχει τὰ κῶλα.

book 1567 + ἀναπαιστικὰ κῶλα ι′, ὧν τὸ β′ μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι′ ἑφθημιμερές.

book 1568 μονόμετρον.

book 1577 + εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οβ′, ὧν τελευταῖος· ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς.

book 1648 στίχοι οβ′.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1649 + εἴσθεσις διπλῆς συνεχοῦς ἐν ἐκθέσει τοῦ δράματος. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ κε′, ὧν οἱ κγ′ τετράμετροι καταληκτικοί. οἱ δὲ ἐν τῶι τέλει β′ τρίμετροι ὑπερκατάληκτοι.

book 1 + ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου, καὶ ἑξῆς ἐκ συνεχοῦς διπλῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλγ′. μετὰ δὲ τὸν ρις′, τὸν ριη′, τὸν ρκ′, τὸν ρκβ′ κώλου τμήματα δ′, ἃ μονόμετρά ἐστι βραχυκατάληκτα. μετὰ δὲ τὸν ρκδ′ ἕτερα β′ κῶλα, ὧν τὸ ἓν δίμετρον βραχυκατάληκτον, τὸ δὲ ἕτερον ἑφθημιμερὲς ἐκ τριβραχέων. εἰ δὲ τροχαϊκὰ τὰ κῶλα ταῦτα εἴποις, οὐκ ἂν ἁμάρτοις. ὁ δὲ τελευταῖος· ἕπου μάραινε δευτέροις διώγμασιν.

book 85 μὴ ἀδικεῖν] συνίζησις.

book 86 μὴ ἀμελεῖν] συνίζησις.

book 140 στίχοι ρλγ′.

book 141 + ὁ παρὼν χορὸς συνέστηκεν ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σποράδην κειμένων ια′, κώλων δὲ ἀντισπαστικῶν μονομέτρων καὶ διμέτρων καὶ τριμέτρων καταληκτικῶν 〈καὶ〉 ἀκαταλήκτων καὶ βραχυκαταλήκτων κθ′, ὧν τελευταῖον· μιάστορ’ ἐκείνου πάσσεται.

book 178 στίχοι καὶ κῶλα μ′.

book 179 + εἴσθεσις διπλῆς· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξε′ ὧν τελευταῖος· αὐτοῦ φυλάσσων ἀναμένω τέλος δίκης.

book 194 τοιαύτας] κοινή.

book 197 τοιαύτης] κοινή.

book 243 στίχοι ξε′.

book 244 + εἶεν· τόδ’ ἐστί· ὁ παρὼν χορὸς συνέστηκεν ἐκ στίχων καὶ κώλων λβ′, ὧν οἱ μέν εἰσιν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιη′, τὰ δὲ κῶλα ἀντισπαστικὰ ιδ′ ἡμιόλια καὶ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά.

book 275 στίχοι καὶ κῶλα λβ′.

book 276 + εἴσθεσις διπλῆς μερικῆς δύο περιόδων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λα′, ὧν τελευταῖος· ὕμνον ἀκούσηι τόνδε δέσμιον σέθεν.

book 300 μὴ οὐ] συνίζησις.

book 306 στίχοι λα′.

book 307 + ἄγε δή· ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ἀναπαιστικῶν ιε′, ὧν τὰ μέν ἐστι δίμετρα ἀκατάληκτα, τὰ δὲ καταληκτικά, ἤτοι ἑφθημιμερῆ, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ μονόμετρα.

book 320 κῶλα ιε′.

book 321 + ἡ μονοστροφικὴ αὕτη περίοδος κώλων ἐστὶ χοριαμβικῶν κδ′, ὧν τὰ μέν ἐστιν ἡμιόλια, τὰ δὲ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα, τὰ δὲ τρίμετρα, ὧν τελευταῖον· μικτὸς αὔονα βροτοῖς.

book 346 κῶλα κδ′.

book 349 + ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων χοριαμβικῶν νβ′, ὧν τὰ μέν εἰσιν ἡμιόλια, τὰ δὲ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα, ὧν τελευταῖον· τάξιν γ’ ἔχουσα καὶ δυσήλιον κνέφας, ὃς μόνος ἰαμβικός ἐστι τρίμετρος.

book 349bis ἐνταῦθα χρή, οἶμαι, εἶναι τὸ πρόσωπον.

book 352 ἐνταῦθα εἶχε πρόσωπον χοροῦ· οἶμαι δὲ οὐ καλῶς εἶχεν.

book 372 + καὶ ἐνταῦθα εἶχε 〈πρόσωπον〉 ’Ορέ(στου)· καὶ τοῦτο οὐ καλῶς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 396 κῶλα νβʹ.

book 397 + εἴσθεσις διπλῆς μονοστροφικῆς συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ϙγʹ, ὧν τελευταῖος· ἥξω διαιρεῖν πρᾶγμα τοῦτ’ ἐτητύμως.

book 424 τοιαύτας] κοινή.

book 488 στίχοι ϙγʹ.

book 490 + νῦν καταστροφαί· ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων χοριαμβικῶν οβʹ, ὧν τὰ μέν ἐστιν ἡμιόλια, τὰ δὲ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα, ὧν τελευταῖον· ὤλετ’ ἄκλαυστος ἄιστος.

book 565 κῶλα οβʹ.

book 566 + εἴσθεσις διπλῆς καθόλου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμθʹ, ὧν τελευταῖος· σωτήριόν τε καὶ δορὸς νικηφόρον.

book 691 μὴ ἀδικεῖν] συνίζησις.

book 749 μὴ ἀδικεῖν] συνίζησις.

book 777 στίχοι ρμθʹ.

book 808 + ὠιδὴ χοροῦ ἐπωιδικὴ διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι. ἔχει δὲ τοὺς πρώτους μὲν γʹ στίχους ἰαμβικοὺς τριμέτρους ἀκαταλήκτους, τὰ δὲ ἑξῆς κῶλά εἰσιν ἀντισπαστικὰ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα καὶ τρίμετρα ιγʹ.

book 823 στίχοι καὶ κῶλα ιςʹ.

book 824 + εἴσθεσις διπλῆς ἀμοιβαίας καὶ μονοστρόφους ἔχουσα τὰς περιόδους. εἰσὶ δὲ τὰ τοῦ χοροῦ μὲν κῶλα ἀντισπαστικά, τὰ δὲ τοῦ ἑτέρου προσώπου ἰαμβικοὶ στίχοι τρίμετροι. τῆς πρώτης οὖν περιόδου ταύτης στίχοι εἰσὶν ἰαμβικοὶ ιγʹ.

book 836 στίχοι ιγʹ.

book 837 + ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν διμέτρων βραχυκαταλήκτων καὶ καταληκτικῶν καὶ πενθημιμερῶν καὶ μονομέτρων καὶ τριμέτρων ιαʹ.

book 846 κῶλα ιαʹ.

book 847 + ἡ μονοστροφικὴ αὕτη περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κβʹ.

book 869 στίχοι κβʹ.

book 870 + ἡ μεσωιδικὴ αὕτη ἀντιστροφὴ κώλων ἐστὶν ἀντισπαστικῶν ιαʹ. τὰ αὐτὰ δέ ἐστι κῶλα ἃ καὶ ἐν τῆι στροφῆι εἴρηκεν.

book 880 κῶλα ιαʹ.

book 881 + εἴσθεσις διπλῆς συνεχοῦς μερικῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λεʹ, ὧν τελευταῖος· τήνδ’ ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν.

book 915 στίχοι λεʹ.

book 916 + εἴσθεσις διπλῆς ἐν ἐκθέσει τοῦ δράματος ἀμοιβαίας 〈καὶ μονοστροφικὰσ〉 τὰς περιόδους ἔχουσα. εἰσὶ δὲ τὰ μὲν τοῦ χοροῦ κῶλα χοριαμβικά, τὰ δὲ τοῦ ἑτέρου προσώπου ἀναπαιστικά. εἰσὶ δὲ τὰ τῆς πρώτης ταύτης στροφῆς κῶλα χοριαμβικὰ ὅμοια τοῖς προρρηθεῖσιν ιαʹ.

book 923 τύχας] τοῦτο περισσὸν πρὸς τὸ κῶλον τῆς ἀντιστροφῆς.

book 925 ἐξαμυρόσαι] καὶ τοῦτο περισσὸν πρὸς τὸ κῶλον τῆς ἀντιστροφῆς.

book 926 κῶλα ιαʹ.

book 927 + τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι δίμετρα καὶ μονόμετρα ιαʹ.

book 931

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μονόμετρον.

book 936 μονόμετρον.

book 937 κῶλα ια′.

book 938 + τὰ τοῦ χοροῦ ταῦτα κῶλα χοριαμβικά ἐστιν ια′ ὅμοια καὶ ἰσόμετρα τοῖς ἄνω. ἔστι δὲ ἀντιστροφὴ τῆς ἄνω στροφῆς.

book 947 κῶλα ια′.

book 948 + τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ ζ′.

book 955 κῶλα ζ′.

book 956 + στροφὴ ἑτέρα. τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσιν ιβ′.

book 967 κῶλα ιβ′.

book 968 + τὰ κῶλα ταῦτα ἀναπαιστικά εἰσι δίμετρα καὶ μονόμετρα η′.

book 969 μονόμετρον.

book 974 μονόμετρον.

book 975 κῶλα η′.

book 976 + ἀντιστροφὴ τῆς ἄνω στροφῆς. τὰ δὲ κῶλά ἐστι χοριαμβικὰ ὅμοια ιβ′.

book 987 κῶλα ιβ′.

book 988 + τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι δίμετρα καὶ μονόμετρα η′.

book 989 μονόμετρον.

book 994 μονόμετρον.

book 995 κῶλα η′.

book 996 + στροφὴ ἑτέρα. τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσιν ζ′.

book 1002 κῶλα ζ′.

book 1003 + τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι καὶ δίμετρα καὶ μονόμετρα ια′.

book 1012 μονόμετρον.

book 1013 κῶλα ια′.

book 1014 + ἑτέρα στροφή. τὰ δὲ κῶλά ἐστι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσιν η′.

book 1020 κῶλα η′.

book 1021 + ἑτέρα περίοδος ἐν ἐκθέσει τοῦ δράματος. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιη′.

book 1031 στίχοι ιη′.

book 1032 + ἑτέρα στροφὴ ἐν ἐκθέσει τελευταίαι τοῦ δράματος. τὰ δὲ κῶλα χοριαμβικά ἐστιν ὅμοια τοῖς ῥηθεῖσιν δεκαέξ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org